ἵησιν ἐκ χερῶν
Ἔρως, ὁ Διὸς παῖς.

ἄλλως ἄλλως παρά τ' Ἀλφεῷ antistr.
Φοίβου τ' ἐπὶ Πυθίοις τεράμνοις
βούταν φόνον Ἑλλὰς αἴ' ἀέξει·
Ἔρωτα δέ, τὸν τύραννον ἀνδρῶν,
τὸν τᾶς Ἀφροδίτας
φιλτάτων θαλάμων
κληδοῦχον, οὐ σεβίζομεν,
πέρθοντα καὶ διὰ πλείστας
ἰόντα συμφορᾶς
θνατοῖς, ὅταν ἔλθῃ.

τὰν μὲν Οἰχαλίᾳ stroph.
πῶλον ἄζυγα λέκτρων,
ἄνανδρον τὸ πρὶν καὶ ἄνυμφον, οἴκων
ζεύξασ' ἀπ' Εὐρυτίων δρομάδα
Ναϊάδ' ὅπως τε Βάκχαν
σὺν αἵματι, σὺν καπνῷ
φονίοις θ' ὑμεναίοις
Ἀλκμήνας τόκῳ Κύπρις ἐξέδωκεν·
ὦ τλάμων ὑμεναίων.

ὦ Θήβας ἱερὸν antistr.

---

533 *ἵησιν Aa, ἶησ' l* | *χερῶν*] Aldina, *χειρῶν* libri 534 *Ἔρως* om. *P* 535 *ἄλως ἄλως C, μάτην μάτην* Brunck | *ἀλφεῶ P, ἀλφειῷ AEaCBL* 536 *τ' ἐν l* 537 *αἴ'* om. libri, add. Hermann 538 *δὲ τὴν P, τὸν* om. *E* 539 *τῆς ἀφροδίτας E* 541 *κληιδοῦχον aLP, κλειδοῦχον AEC* et factum ex *κλειδούχων B* | *σεβάζομεν C* 542 *πλεῖστας A, πάσας EaBC, πάσης LP* 544 *θνατοῖς aCLP, θνητοῖς AEB* 545 *τὰν ἐν* Wolfg. Bauer | post *οἰχαλίᾳ* sequitur ut versus *παρθένον τ' ἄπειρον γάμων*, post *γάμων* unius lineae verba erasa in *E* (verba *παρθένον ἄπειρον γάμων* in *a* ut glossa ascripta) 546 *πώλων P* 549 *ἀπ' Εὐρυτίων*] Buttmann, *ἀπειρεσίαν* libri (in *L αν* in ras.) 550 *Ναϊάδ'*] scripsi, *ναΐδα Aa* (in *Aa* superscr. *νύμφην*) *EBC, ναΐδ' L, ἀίδ' P, τὰν ἀΐδ' l* | *βάκχαν* superscr. *γρ. μαινάδα a, γρ. μαινάδα* etiam schol. *B* 551 *συγκαπνῶ P σὺν καπνῶ p* 552 *φοινίοις C, φονία P φονίαν p* | *φονίοις ὑφ' ὕμνοισιν* Weil (*ὕμνοισι* Osann), *φονίοισί θ' ὕμνοισιν* Wilamowitz, fort. *φονίοις σὺν ὕμνοισιν* 553 *ἐξέδωκεν LP, ἔδωκεν AEaBC* 554 *τλάμων*] Heath, *τλάμον* vel *τλᾶμον* libri